ΧΡΥΣΟΘΕΜΙΣ ἐγὼ μέν, ὦ γυναῖκες, ἠθάς εἰμί πως
τῶν τῆσδε μύθων· οὐδ᾽ ἂν ἐμνήσθην ποτέ,
εἰ μὴ κακὸν μέγιστον εἰς αὐτὴν ἰὸν
ἤκουσ᾽, ὃ ταύτην τῶν μακρῶν σχήσει γόων.
ΗΛΕΚΤΡΑ φέρ᾽ εἰπὲ δὴ τὸ δεινόν: εἰ γὰρ τῶνδέ μοι
μεῖζόν τι λέξεις, οὐκ ἂν ἀντείποιμ᾽ ἔτι.
ΧΡΥΣΟΘΕΜΙΣ ἀλλ᾽ ἐξερῶ σοι πᾶν ὅσον κάτοιδ᾽ ἐγώ.
μέλλουσι γάρ σ᾽, εἰ τῶνδε μὴ λήξεις γόων,
ἐνταῦθα πέμψειν ἔνθα μή ποθ᾽ ἡλίου
φέγγος προσόψει, ζῶσα δ᾽ ἐν κατηρεφεῖ
στέγῃ χθονὸς τῆσδ᾽ ἐκτὸς ὑμνήσεις κακά.
πρὸς ταῦτα φράζου καί με μή ποθ᾽ ὕστερον
παθοῦσα μέμψῃ· νῦν γὰρ ἐν καλῷ φρονεῖν.
ΗΛΕΚΤΡΑ ἦ ταῦτα δή με καὶ βεβούλευνται ποεῖν;
ΧΡΥΣΟΘΕΜΙΣ μάλισθ᾽· ὅταν περ οἴκαδ᾽ Αἴγισθος μόλῃ.
ΗΛΕΚΤΡΑ ἀλλ᾽ ἐξίκοιτο τοῦδέ γ᾽ οὕνεκ᾽ ἐν τάχει.
ΧΡΥΣΟΘΕΜΙΣ τίν᾽, ὦ τάλαινα, τόνδ᾽ ἐπηράσω λόγον;
ΗΛΕΚΤΡΑ ἐλθεῖν ἐκεῖνον, εἴ τι τῶνδε δρᾶν νοεῖ.
ΧΡΥΣΟΘΕΜΙΣ ὅπως πάθῃς τί χρῆμα; ποῦ ποτ᾽ εἶ φρενῶν;
ΗΛΕΚΤΡΑ ὅπως ἀφ᾽ ὑμῶν ὡς προσωτάτω φύγω.
ΧΡΥΣΟΘΕΜΙΣ βίου δὲ τοῦ παρόντος οὐ μνείαν ἔχεις;
ΗΛΕΚΤΡΑ καλὸς γὰρ οὑμὸς βίοτος ὥστε θαυμάσαι.
ΧΡΥΣΟΘΕΜΙΣ ἀλλ᾽ ἦν ἄν, εἰ σύ γ᾽ εὖ φρονεῖν ἠπίστασο.
ΗΛΕΚΤΡΑ μή μ᾽ ἐκδίδασκε τοῖς φίλοις εἶναι κακήν.
ΧΡΥΣΟΘΕΜΙΣ ἀλλ᾽ οὐ διδάσκω· τοῖς κρατοῦσι δ᾽ εἰκαθεῖν.
ΗΛΕΚΤΡΑ σὺ ταῦτα θώπευ᾽· οὐκ ἐμοὺς τρόπους λέγεις.
ΧΡΥΣΟΘΕΜΙΣ καλόν γε μέντοι μὴ 'ξ ἀβουλίας πεσεῖν.
ΗΛΕΚΤΡΑ πεσούμεθ᾽, εἰ χρή, πατρὶ τιμωρούμενοι.